UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXVIII. Dona in Ecclesias collata, & pecuniae virginibus ac pauperibus erogatae.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

προφητοφόνταις καὶ κυριοκτόνοις, τοὺς ὑπὸ τοῦ σωτῆρος λελυτρωμένους ζυγῷ δουλείας ὑπάγεσθαι. εἰ δ' εὑρεθείη τις τοιοῦτος, τὸν μὲν ἀνεῖσθαι ἐλεύθερον. τὸν δὲ, ζημίᾳ χρημάτων κολάζεσθαι. καὶ τοὺς τῶν Ἐπισκόπων δὲ ὅρους τοὺς ἐν συνόδοις ἀποφανθέντας, ἐπεσφραγίζετο. ὡς μὴ ἐξεῖναι τοῖς τῶν ἐθνῶν ἄρχουσι, τὰ δόξαντα παραλύειν· παντὸς γὰρ εἶναι δικαστοῦ τοὺς ἱερεῖς τοῦ Θεοῦ δοκιμωτέρους. τούτοις ἀδελφὰ μυρία τοῖς ὑπὸ τὴν ἀρχὴν διετύπου· ἃ δὴ σχολῆς ἂν δέοιτο δεῖναι ὑποθέσει οἰκείᾳ, εἰς ἀκριβῆ διάγνωσιν τῆς κἀν τούτοις βασιλικῆς φρονήσεως. τί χρὴ νῦν διεξιέναι, ὡς τῷ ἐπὶ πάντων συνάψας ἑαυτὸν Θεῷ, ἐξ ἑώας εἰς ἑσπέραν, τίνας εὖ ποιήσειεν ἀνθρώπων περιενόει. καὶ ὡς πᾶσι μὲν ἴσος ἦν καὶ κοινὸς πρὸς εὐποιίαν.

A pti essent, Prophetarum ac Domini interfectoribus servitutis jugo subderentur. Quod si quis Christianæ religionis, servus penes Judæum deprehenderetur, illum quidem libertate donari; Judæum verò mulctari pecuniâ jussit. Jam verò Episcoporum sententias quæ in Conciliis promulgatæ essent, auctoritate sua confirmavit; adeò ut provinciarum Rectoribus non liceret Episcoporum decreta rescindere. Cuivis enim judici preferendos esse Sacerdotes Dei. Hujusmodi pene innumeras leges subditis suis promulgavit: quas quidem peculiari volumine tradere, ad perspicien-
B dam hac etiam in parte Imperatoris prudentiam, majoris otii fuerit. Quid nunc attinet commemorare, quemadmodum summo omnium Deo sese applicans, à prima luce ad vesperam quos ex omni hominum numero beneficiis afficeret, sollicitè inquirebat; seque erga omnes æquum ac civilem, bene de cunctis merendo præbebat.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Ἐκκλησίαις δωρεαὶ, παρθένοις τε καὶ πένησι διαδόσεις.

Ταῖς δ' ἐκκλησίαις τοῦ Θεοῦ καθ' ὑπεροχὴν ἐξαίρετον, πλεῖστα ὅσα παρεῖχεν. ὧδε μὲν ἀγροὺς. ἀλλαχόθι δὲ σιτοδοσίας, ἐπὶ χορηγίᾳ πενήτων ἀνδρῶν, παίδων τ' ὀρφανῶν καὶ γυναικῶν οἰκτρῶν δωρούμενος· ἤδη δὲ σὺν πολλῇ φροντίδι, καὶ περιβλημάτων πλείστων ὅσων γυμνοῖς καὶ ἀνειμόσι προυνόει· διαφερόντως δ' ἠξίου τιμῆς πλείονος, τοὺς τὸν σφῶν βίον τῇ κατὰ Θεὸν ἀναθέντας φιλοσοφίᾳ· τὸν οὖν πανάγιον τῶν ἀειπαρθένων τοῦ Θεοῦ χορὸν, μονονουχὶ καὶ σέβων διετέλει. ταῖς τῶν τοιῶνδε ψυχαῖς, ἔνοικον αὐτὸν ὑπάρχειν ᾧ καθιέρωσαν ἑαυτὰς Θεὸν πειθόμενος.

## Caput XXVIII.

*Dona in Ecclesias collata, & pecuniæ virginibus ac pauperibus erogatæ.*

C Sed præcipuè in Ecclesias Dei plurima contulit dona; nunc agros; nunc annonas in alimoniam pauperum & viduarum ac pupillorum largiens. Denique etiam vestes nudis hominibus fieri sollicita provisione curavit. Præ ceteris vero eos maximè honorabat, qui se totos divinæ Philosophiæ addixissent. Ipsum quidem sanctissimum perpetuarum Dei virginum cœtum tantum-non venerabatur, cùm ipsum cui se consecraverant Deum, in earum mentibus habitare, pro certo haberet.

D

## ΛΕΦΑΛΑΙΟΝ ΚΘ'.

Λογογραφίαι καὶ ἐπιδείξεις ὑπὸ Κωνσταντίνου.

Ναὶ μὴν τὴν αὐτοῦ αὐτὸς διάνοιαν τοῖς ἐνθέοις συναύξων, ἐπαγρύπνως μὲν διῆγε τοὺς τῶν νυκτῶν καιρούς. σχολῇ δὲ λογογραφῶν, συνεχεῖς ἐποιεῖτο τὰς παρόδους. προσήκειν ἡγούμενος ἑαυτῷ, λόγῳ παιδευτικῷ τῶν ἀρχομένων κρατεῖν, λογικήν τε τὴν σύμπασαν καταστήσασθαι βασιλείαν. διὸ δὴ συνεκάλει μὲν αὐτός. μυρία δ' ἔσπευδεν ἐπ' ἀκρόασιν πλήθη, φιλοσοφοῦντος ἀκουσόμενα βασιλέως. εἰ

## Caput XXIX.

*Lucubrationes & Declamationes Constantini.*

Quin & totas interdum noctes vigil traducebat, suam ipse mentem divinarum rerum meditatione instruens. Et per otium scribendis orationibus vacans, crebras habebat conciones: quippe qui officii sui esse existimaret, populos sibi subjectos præceptis rationis regere, & Principatum suum rationis Imperium efficere. Quocirca ipse quidem concionem advocabat. Ceterùm innumerabilis accurrebat multitudo, Prin-